(Ὀν.) πρότερον ἐκείνην ἥτιϲ ἐϲτίν, Ἁβρότονον,
εὕρωμεν. ἐπὶ τούτωι δ' ἐμοὶ νῦν ϲυ[γγενοῦ.
(Ἁβρ.) οὐκ ἂν δυναίμην, τὸν ἀδικοῦντα πρὶν [ϲαφῶϲ
τίϲ ἐϲτιν εἰδέναι. φοβοῦμαι τοῦτ' ἐγώ,
μάτην τι μηνύειν πρὸϲ ἐκείναϲ ἃϲ λέγω.
τίϲ οἶδεν εἰ καὶ τοῦτον ἐνέχυρον λαβὼν
τότε τιϲ παρ' αὐτοῦ τῶν παρόντων ἀπέβαλεν
ἕτεροϲ; κυβεύων τυχὸν ἴϲωϲ εἰϲ ϲυμβολὰϲ
ὑπόθημ' ἔδωκ', ἢ ϲυντιθέμενοϲ περί τινοϲ
περιείχετ', εἶτ' ἔδωκεν· ἕτερα μυρία
ἐν τοῖϲ πότοιϲ τοιαῦτα γίνεϲθαι φιλεῖ.
πρὶν εἰδέναι δὲ τὸν ἀδικοῦντ' οὐ βούλομαι
ζητεῖν ἐκείνην οὐδὲ μηνύειν ἐγὼ
τοιοῦτον οὐδέν.
Ὀν. οὐ κακῶϲ μέντοι λέγειϲ.
τί οὖν ποήϲηι τιϲ;
Ἁβρ. θέαϲ', Ὀνήϲιμε,
ἂν ϲυναρέϲηι ϲοι τοὐμὸν ἐνθύμημ' ἄρα.
ἐμὸν ποήϲομαι τὸ πρᾶγμα τοῦτ' ἐγώ,
τὸν δακτύλιον λαβοῦϲά τ' εἴϲω τουτονὶ
εἴϲειμι πρὸϲ ἐκεῖνον.
(Ὀν.) λέγ' ὃ λέγειϲ· ἄρτι γὰρ
νοῶ.
(Ἁβρ.) κατιδών μ' ἔχουϲαν ἀνακρινεῖ πόθεν
εἴληφα. φήϲω "Ταυροπολίοιϲ παρθένοϲ
ἔτ' οὖϲα", τά τ' ἐκείνηι γενόμενα πάντ' ἐμὰ
ποουμένη· τὰ πλεῖϲτα δ' αὐτῶν οἶδ' ἐγώ.
(Ὀν.) ἄριϲτά γ' ἀνθρώπων.
(Ἁβρ.) ἐὰν οἰκεῖον ᾖι
αὐτῶι τὸ πρᾶγμ⟨α δ'⟩, εὐθὺϲ ἥξει φερόμενοϲ
ἐπὶ τὸν ἔλεγχον καὶ μεθύων γε νῦν ἐρεῖ